# [Musonius Rufus - suite]

**Auteur : Foucault, Michel**

## Présentation de la fiche

Coteb028_f0304
SourceBoite_028-3-chem | Musonius.
LangueFrançais
TypeFicheLecture
RelationNumérisation d’un manuscrit original consultable à la BnF, département des Manuscrits, cote NAF 28730

## Références éditoriales

Éditeuréquipe FFL (projet ANR *Fiches de lecture de Michel Foucault*) ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle).
Droits

- Image : Avec l’autorisation des ayants droit de Michel Foucault. Tous droits réservés pour la réutilisation des images.
- Notice : équipe FFL ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle). Licence Creative Commons Attribution – Partage à l’Identique 3.0 (CC BY-SA 3.0 FR).

Notice créée par équipe FFL Notice créée le 22/03/2021 Dernière modification le 23/04/2021

---

περὶ τοὺς θεοὺς ἁμαρτάνων ἀσεβής. καὶ μὴν ὅτι καλὸν καὶ λυσιτελὲς παίδων ἀνατροφὴ πολλῶν μάθοι τις ἂν λογισάμενος, ὡς μὲν ἔντιμος ἐν πόλει πολύπαις ἀνήρ, ὡς δ᾽ αἰδῶ παρέχει τοῖς πλησίον, ὡς δὲ δύναται πλέον πάντων τῶν ὁμοίων, ἄν γε μὴ ὁμοίως παίδων εὐπορῶσιν. καθάπερ γάρ, οἶμαι, πολύφιλος ἀφίλου ἀνδρὸς δυνατώτερος, οὕτω καὶ πολὺ μᾶλλον ὁ πολύπαις τοῦ μὴ ἔμπαιδος ἢ τοῦ ὀλίγους κεκτημένου παῖδας, καὶ τοσούτῳ γε μᾶλλον, ὅσῳ περ ἐγγύτερον υἱὸς ἑκάστῳ ἢ φίλος. ἄξιον δὲ νοῆσαι ποῖόν τι καὶ θέαμά ἐστιν ἀνὴρ πολύπαις ἢ γυνὴ σὺν ἀθρόοις ὁρώμενοι τοῖς ἑαυτῶν παισίν· οὔτε γὰρ πομπὴν πεμπομένην θεοῖς οὕτω καλὴν θεάσαιτ᾽ ἄν τις οὔτε χορείαν ἐπὶ ἱεροῖς κόσμῳ χορευόντων οὕτως ἀξιοθέατον, ὡς χορὸν παίδων πολλῶν προηγουμένων ἐν πόλει πατρὸς τοῦ ἑαυτῶν ἢ μητρός, ⟨καὶ⟩ χειραγωγούντων τοὺς γονεῖς ἢ τρόπον ἕτερον περιεπόντων κηδεμονικῶς. τί μὲν τούτου κάλλιον τοῦ θεάματος; τί δὲ τῶν γονέων τούτων ζηλωτότερον, ἄλλως τε κἂν ἐπιεικεῖς ὦσι; τίσι δ᾽ ἂν ἄλλοις οὕτω προθύμως ἢ συνεύξαιτό τις ἀγαθὰ παρὰ θεῶν, ἢ συμπράξειεν αὐτοῖς εἰς ὅ τι δέοιντο; νὴ Δία, φησίν, ἀλλ᾽ ἂν πέν⟨η⟩ς ὦ καὶ χρημάτων ἀπορῶ, ⟨κε⟩κτῆται δέ μοι πολλὰ τέ⟨κνα⟩, πόθεν ἂν αὐτὰ θρέψαιμα⟨ι πάν⟩τα; πόθεν δὲ τὰ μικρὰ τα⟨ῦτα ὀρ⟩νίθια, πολὺ σοῦ ἀπορώτερα, ⟨αἱ⟩ χελιδόνες καὶ ἀηδόνες ⟨καὶ⟩ κορυδοὶ καὶ κόσσυφοι τρέ⟨φου⟩σι τοὺς νεοττοὺς τοὺς ἑαυ⟨τῶν⟩; περὶ ὧν καὶ Ὅμηρος λέγ⟨ει οὕ⟩τως·

> ὡς δ᾽ ὄρνις ἀπτῆσι ⟨νεοσ⟩σοῖσιν προφέρηται
> μά⟨στακ᾽⟩ ἐπεί κε λάβῃσι, κακῶς ⟨δ᾽ ἄρα⟩ οἱ πέλει αὐτῇ.

πότερον ⟨συν⟩έσει τὰ ζῷα ταῦτα τοῦ ἀν⟨θρώ⟩που προτέρ⟨ε⟩ῖ; ἀλλ᾽ οὐκ ἂν ⟨εἴποις⟩. τί δέ; ῥώμῃ καὶ ἰσχύι; ἀ⟨λλὰ πολὺ⟩ ἔτι τοῦτο ἧττον. τί δ᾽; ἀποτί⟨θε⟩ται καὶ φυλάσσει τροφήν; . . . .

Ὃ δέ μοι δοκεῖ δεινότατον, οὐδὲ πενίαν ἔνιοι προφασίζεσθαι ἔχοντες, ἀλλ᾽ εὔποροι χρημάτων ὄντες, τινὲς δὲ καὶ πλούσιοι, τολμῶσιν ὅμως τὰ ἐπιγινόμενα τέκνα μὴ τρέφειν, ἵνα τὰ προγενόμενα εὐπορῇ μᾶλλον, ἐξ ἀνοσίου μηχανώμενοι τὴν εὐπορίαν τοῖς

**18** πέν⟨η⟩ς ὦ Snell πεν⟨ ⟩σω Powell ⟨κε⟩κτῆται Körte ⟨κέ⟩κτηται Snell, Powell
**19** ⟨πάν⟩τα Snell ⟨ταῦ⟩τα Powell
**24** μά⟨στακ᾽⟩ Snell μά⟨στακα⟩ Powell

---

**18** The Greek text of the older editions of Musonius breaks off abruptly at this point, but a recently discovered papyrus fragment (*The Rendel Harris Papyri* I) supplies the text for lines **18-27**. Cf. Introduction note 12.

**23 f.** *Iliad* IX, 323 f.

BnF MSS

Fichier issu d'une page EMAN : http://eman-archives.org/Foucault-fiches/items/show/18148?context=pdf

Fichier issu d'une page EMAN : http://eman-archives.org/Foucault-fiches/items/show/18148?context=pdf